τὴν κοιλίαν ἐξελόντες⟩ ἔδειξαν τῷ ἡλίῳ, εἶτα ταύτην μὲν εἰς τὸν ποταμὸν κατέβαλον, τοῦ δ' ἄλλου σώματος ὡς ἤδη καθαροῦ γεγονότος ἐπιμέλονται. τῷ γὰρ ὄντι τοῦτ' ἐστὶ τὸ μίασμα τῆς σαρκὸς ἡμῶν καὶ ὁ τάρταρος, ὡς ὁ ἐν Ἅιδου δεινῶν τινων ῥευμάτων καὶ πνεύματος ὁμοῦ καὶ πυρὸς συμπεφυρμένου καὶ νεκρῶν περίπλεως. ζῶν γὰρ ἀπ' οὐδενὸς τρέφεται ζῶντος, ἀλλὰ θανατοῦντες τὰ ἔμψυχα καὶ τὰ φυόμενα, τῷ τρέφεσθαι καὶ αὔξεσθαι μετέχοντα τοῦ ζῆν, ἀπολλύντες ἀδικοῦμεν. ἀπόλλυται γὰρ ἐξ οὗ πέφυκε τὸ μεταβάλλον εἰς ἄλλο, καὶ πᾶσαν φθείρεται φθοράν, ὅπως ἂν θατέρου τροφὴ γένηται. τὸ δ' C ἀπέχεσθαι σαρκῶν ἐδωδῆς, ὥσπερ Ὀρφέα τὸν παλαιὸν ἱστοροῦσι, σόφισμα μᾶλλον ἢ φυγὴ τῶν περὶ τὴν τροφὴν ἀδικημάτων ἐστί. φυγὴ δὲ μία καὶ καθαρμὸς εἷς τελέως αὐτάρκη καὶ ἀπροσδεῆ γενέσθαι. ᾧ δ' ἄνευ κακώσεως ἑτέρου τὴν αὑτοῦ σωτηρίαν ἀμήχανον ὁ θεὸς πεποίηκε, τούτῳ τὴν φύσιν ἀρχὴν ἀδικίας προστέθεικεν. ἆρ' οὖν οὐκ ἄξιον, ὦ φίλε, συνεκτεμεῖν ἀδικίᾳ κοιλίαν καὶ στόμαχον καὶ ἧπαρ, ἃ καλοῦ μὲν οὐδενὸς αἴσθησιν ἡμῖν οὐδ' ὄρεξιν ἐνδίδωσι, σκεύεσι δὲ μαγειρικοῖς, οἷα κοπίδες καὶ λέβητες, τὰ δὲ μυλωθρικοῖς καὶ φρεωρύχοις καὶ καμινιαίοις καὶ μακτηρίοις ἔοικεν; ἀτεχνῶς δὲ τῶν πολ- D λῶν ἴδοι τις ἂν ὥσπερ ἐν μυλῶνι τῷ σώματι τὴν ψυχὴν ἐγκεκαλυμμένην ἀεὶ περὶ τὴν τῆς τροφῆς χρείαν κυκλοῦσαν· ὥσπερ ἀμέλει καὶ ἡμεῖς ἄρτι μὲν οὔθ' ἑωρῶμεν ἀλλήλους οὔτ' ἠκούομεν, ἀλλ' ἕκαστος ἐγκεκυφὼς ἐδούλευε τῇ περὶ τὴν τροφὴν χρείᾳ, νυνὶ δ' ἐπαρθεισῶν τῶν τραπεζῶν, ἐλεύθεροι γεγονότες ὡς ὁρᾷς, ἐστεφανωμένοι περὶ λόγους διατρίβομεν καὶ ἀλλήλοις